# 03 NOIEMBRIE

# PARACLISUL SF.CUVIOS-MUCENIC GHEORGHE DE LA NEAPOLIS-CAPADOCIA

ATENA,1970


Ο ΝΕΑΠΟΛΙΤΗΣ

# ΝΟΕΜΒΡΙΟΣ Γ'
# ΓΕΩΡΓΙΟΣ ΝΕΟΣ ΙΕΡΟΜΑΡΤΥΣ ΝΕΑΠΟΛΙΤΗΣ

*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου, ἔκδοσις Ἰ. Ν. Ἁγ. Εὐσταθίου Νεαπόλεως Νέας Ἰωνίας, Ἀθῆναι, 1970)*

## ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. γ’. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοὺς προσιόντας τῷ σεπτῷ σου λειψάνῳ, καὶ ἐξαιτοῦντας τὴν θερμήν σου πρεσβείαν, Ἱερομάρτυς Ἅγιε Γεώργιε, πάσης ἀπολύτρωσαι, ἐπηρείας καὶ βλάβης, καὶ παθῶν καὶ θλίψεων, καὶ δεινῶν νοσημάτων, καὶ εἰρηναίαν αἴτησαι ζωήν, καὶ τῶν πταισμάτων ἡμῖν τὴν συγχώρησιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Γεώργει χάριν ἡμῖν, ὦ Πάτερ. Γερασίμου.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Γεώργει τοῖς πίστει εἰλικρινεῖ, τῇ σῇ φερωνύμως, καταφεύγουσιν ἀρωγῇ, βοήθειαν θείαν τε καὶ χάριν, ταῖς πρὸς Θεόν σου πρεσβείαις Γεώργιε.

Ἐκ πάσης ἀνάγκης καὶ προσβολῆς, ἐχθροῦ τοῦ δολίου, διατήρησον ἀσινεῖς, τοὺς πίστει καὶ πόθῳ προσιόντας, τῷ ἱερῷ σου λειψάνῳ Γεώργιε.

Ὡς θεῖος μεσίτης πρὸς τὸν Θεόν, τῶν σὲ κεκτημένων, ἀντιλήπτορα ταχινόν, ἱκέτευε Πάτερ τὸν Σωτῆρα, ὡς ἂν πταισμάτων τὴν ἄφεσιν λάβομεν.

*Θεοτοκίον.*

Ῥοαῖς τῶν πλουσίων Σου οἰκτιρμῶν, παθῶν μου τὸν ῥύπον, αποκάθαρον δυσωπῶ, Κεχαριτωμένη Θεοτόκε, καὶ τὴν νοσοῦσαν ψυχήν μου θεράπευσον.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Γεωργεῖν θεῖον φόβον δίδου ἡμῖν δύναμιν, ὡς Ἱερομάρτυς Κυρίου, Πάτερ Γεώργιε, ὡς ἂν ῥυώμεθα, ἐπιβουλῶν τοῦ βελίαρ, καὶ Θεῷ δουλεύωμεν, βίου σεμνότητι.

Ἐναθλήσας νομίμως ὡς ἱερεὺς ἔνθεος, πάσης ἀνομίας καὶ πλάνης, ἡμᾶς ἀπάλλαξον, Πάτερ Γεώργιε, καὶ ἐν τῶ νόμῳ Κυρίου, ἀκλινῶς πορεύεσθαι, ἡμᾶς ὁδήγησον.

Ἱερεὺς θεοφόρος ὡς ἀληθῶς πέφηνας, καὶ μαρτυρικῶς τὴν ζωήν σου, Πάτερ ἐσφράγισας· ὅθεν ἱκέτευε, πάσης ἀνάγκης καὶ βλάβης, ῥύεσθαι Γεώργιε, ἡμᾶς ἑκάστοτε.

*Θεοτοκίον.*

Χαλεπῶς με νοσοῦντα καὶ τῷ ἐχθρῷ εἴκοντα, πρόφθασον καὶ λύτρωσαι Κόρη, τῆς νῦν κακώσεως, καὶ τὴν καρδίαν μου, πρὸς ἀρετῶν ἐργασίαν, πρόθυμον ἀπέργασαι, τῇ Σῇ χρηστότητι.

Διάσωσον, Ἱερομάρτυς Γεώργιε πάσης βλάβης, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν ἡμῖν αἴτει.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Παθῶν συνοχῆς καὶ πάσης περιστάσεως, καὶ πόνων δεινῶν, καὶ συμφορῶν καὶ θλίψεων, ἀτρώτους ἡμᾶς φύλαττε, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς Κύριον· ὅτι τῇ σῇ ἀντιλήψει πιστῶς, προσπίπτομεν Ἅγιε Γεώργιε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἀσθενοῦσι τὴν ἴασιν, καὶ τοῖς θλιβομένοις τὴν ἀπολύτρωσιν, δίδου Ἅγιε Γεώργιε, τοῖς τῷ σῷ λειψάνῳ καταφεύγουσι.

Ῥῶσιν νέμει ἑκάστοτε, τῇ ἐπισκιάσει τοῦ θείου Πνεύματος, τὸ σὸν λείψανον Γεώργιε, καὶ παρέχει πᾶσι τὰ ἰάματα.

Ἱλαρῷ ἴδε ὄμματι, τοὺς πιστῶς προσπίπτοντας τῷ λειψάνῳ σου, καὶ παράσχου τούτοις Ἅγιε, ὧν ἀπὸ καρδίας ἱκετεύουσι.

*Θεοτοκίον.*

Νέκρωσόν μου τὸ φρόνημα, τῆς σαρκὸς Παρθένε καὶ ζωοποίησον, νεκρωθεῖσαν τὴν καρδίαν μου, ταῖς τοῦ θείου νόμου παραβάσεσι.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἤθλησας καλῶς, καὶ προστάτης ὤφθης ἕτοιμος, τοῖς αἰτοῦσι τὴν θερμήν σου ἀρωγήν, ὡς θεράπων τοῦ Χριστοῦ θεῖε Γεώργιε.

Μάρτυς ἀληθής, τοῦ Χριστοῦ ὤφθης Γεώργιε· διὸ ἴθυνον ἡμᾶς πρὸς τὴν ὁδόν, τῶν ἁγίων μαρτυρίων τοῦ παντάνακτος.

Ἴασαι ψυχῶν, καὶ σωμάτων τὰ νοσήματα, τῶν ἐν πίστει τῇ ἁγίᾳ σορῷ, προσιόντων παμμακάριστε Γεώργιε.

*Θεοτοκίον.*

Νάμασιν ἁγνή, τῆς πλουσίας Σου χρηστότητος, τὴν διψῶσάν μου κατάρδευσον ψυχήν, καὶ τὴν φλόγα τῶν παθῶν μου ἐναπόσβεσον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ὡς Μάρτυς, καὶ ἱερεὺς θεοφόρος, καὶ τῆς δόξης κοινωνὸς τοῦ Σωτῆρος, σὺν τοῖς Ἀγγέλοις ἀπαύστως δυσώπει, τὴν Παναγίαν Τριάδα Γεώργιε, ἵνα πικρῶν ἐπιφορῶν, καὶ ποικίλων κινδύνων ῥυώμεθα.

Προστάτην, καὶ πρεσβευτὴν πρὸς τὸν Κτίστην, κεκτημένοι σε Γεώργιε Πάτερ, τῷ σῷ τιμίῳ καὶ θείῳ λειψάνῳ, ἐν εὐλαβείᾳ πολλῇ καταφεύγομεν, καὶ πᾶσαν δόσιν ἀγαθήν, ἐξ αὐτοῦ σωτηρίας λαμβάνομεν.

Ἀγγέλων, συνὼν ἀεὶ ταῖς χορείαις, σὺν αὐτοῖς ὑπὲρ ἡμῶν ἐκδυσώπει, τὴν Παναγίαν Τριάδα θεόφρον, ἵνα πταισμάτων συγχώρησιν λάβωμεν, καὶ κατ᾽ ἐχθροῦ τοῦ νοητοῦ, ἐνδυσώμεθα κράτος ἀήττητον.

*Θεοτοκίον.*

Τὸν Κτίστην, καὶ Ποιητὴν τῶν ἁπάντων, ἀποῤῥήτως συλλαβοῦσα Παρθένε, καὶ μετὰ σώματος τοῦτον τεκοῦσα, καὶ μετὰ τόκον ἁγνὴ διαμείνασα, ἁγνὸν ψυχῇ με καὶ νοΐ· καὶ τῷ σώματι πάντοτε φύλαττε.

Διάσωσον, Ἱερομάρτυς Γεώργιε πάσης βλάβης, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν ἡμῖν αἴτει.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ἱερομάρτυς Κυρίου Γεώργιε, τῶν Ὀρθοδόξων σεπτὸν ἐγκαλλώπισμα, παθῶν ἀδοξίας ἀπάλλαξον, καὶ ἐναρέτως βιοῦν ἐνδυνάμωσον, τοὺς πόθῳ τιμῶντάς σε Ἅγιε.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*
Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. 21: 12-19*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν· καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Δόξης ὡς ἀνάπλεως, τῆς ὑπὲρ λόγον παμμάκαρ, ὡς ἀθλήσας ἄριστα, Ἅγιε Γεώργιε θείῳ ἔρωτι, ἐκτενῶς πρέσβευε, πάσης ἐπηρείας, τοῦ δολίου πολεμήτορος,

καὶ πάσης θλίψεως, καὶ δυσπραγιῶν καὶ κακώσεων, ἀτρώτους διασώζεσθαι, τοὺς εἰλικρινῶς σε γεραίροντας, καὶ ἐν μετανοίᾳ, καὶ πάσῃ ἀρετῇ θεοφιλεῖ, ἡμᾶς σεμνῶς πολιτεύεσθαι, πίστει δυσωποῦμέν σε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἐκ παθῶν ἀκαθάρτων καὶ δεινῶν συντριμμάτων ψυχῆς καὶ σώματος, καὶ πάσης ἁμαρτίας, καὶ βλάβης καὶ κακίας, ἀνωτέρους διάσωζε, Γεώργιε ἱερέ, τοὺς σὲ ὑμνολογοῦντας.

Ῥῶσιν ἄφθονον βρύει ἡ Ἁγία σορός σου Ἁγίῳ Πνεύματι, καὶ ἔλεος καὶ χάριν, τοῖς πίστει προσιοῦσι, θεοφόρε Γεώργιε, καὶ ἀπελαύνει ἀεί, δαιμόνων ἐπηρείας.

Γεωργεῖν θείῳ φόβῳ ἀρετῶν οὐρανίων θεῖα βλαστήματα, Γεώργιε παμμάκαρ, ἐνίσχυσον λιταῖς σου, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ἐξ ἀχράντου γαστρός Σου μετὰ σώματος ὤφθη δι' ἀγαθότητα, ὁ ἐν μορφῇ ὑπάρχων, Πατρὸς τοῦ προανάρχου, Θεὸς Λόγος καὶ ἔσωσε, τὴν συντριβεῖσαν ἡμῶν, οὐσίαν Θεοτόκε.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ῥοῦν ἁμαρτίας, τὸν κατακλύζοντα Πάτερ, τὴν καρδίαν μου τῷ φθόνῳ τοῦ βελίαρ, ξήρανον είς τέλος, Γεώργιε λιταῖς σου.

Ἄφθαρτον μένει, χαριτωθὲν ούρανόθεν, τὸ σὸν λείψανον καὶ πᾶσαν διαλύει, χάριτι τῇ θείᾳ, φθορὰν Ἱερομάρτυς.

Σκέπε παμμάκαρ, έκ τῶν βελῶν τοῦ βελίαρ, τῇ πρὸς Κύριον θερμῇ σου ἱκεσίᾳ, τοὺς καταφοιτῶντας, τῇ ἱερᾷ σορῷ σου.

*Θεοτοκίον.*

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ τοῦ σώματος τὰς ἀλγηδόνας παῦσον, ἵνα Σε δοξάζω, τὴν Κεχαριτωμένην.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μαρτύρων εὐκληρίᾳ, Πάτερ διαπρέπων, σὺν Ἀθλοφόροις Γεώργιε πρέσβευε, ἵνα ῥυσθῶμεν κινδύνων καὶ περιστάσεων.

Ὁλόφωτον παστάδα, ἔχων κατοικίαν, έν ούρανοῖς θεοφόρε Γεώργιε, ἐκ σκοτασμοῦ ἁμαρτίας ἡμᾶς ἀπάλλαξον.

Ὑψίστου ὢν θεράπων, ὡς Ἱερομάρτυς, μὴ διαλίπῃς παμμάκαρ Γεώργιε, ἀεὶ πληροῦν τὰς αἰτήσεις τῶν εὐφημούντων σε.

### *Θεοτοκίον.*

Ὑπέραγνε Μαρία, ἡ τὸν Θεὸν Λόγον ἀνερμηνεύτως τεκοῦσα ἐν σώματι, ἐκ πονηρᾶς συνηθείας ἡμᾶς ἀπάλλαξον.

### *Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις ἱερέων κλέος σεπτόν, χαίροις τοῦ Σωτῆρος ὁ θεράπων ὁ ἱερός, χαίροις τῶν Μαρτύρων, ὁ κοινωνὸς ἐν δόξῃ, Γεώργιε τρισμάκαρ, Ἀγγέλων σύσκηνε.

Βίον γεωργήσας θεοφιλῆ, μαρτυρίου στάχυν, προσενήνοχας τῷ Θεῷ, καὶ τῆς αἰωνίου, χαρᾶς κατηξιώθης, Γεώργιε παμμάκαρ, τμηθεὶς τὴν κάραν σου.

Χεῖρες μιαιφόνων σου τὴν σεπτήν, ἀπέτεμον κάραν, ὡς θεράποντος τοῦ Χριστοῦ, χεὶρ δὲ τοῦ Κυρίου, μαρτυρικῷ στεφάνῳ, Γεώργιε θεόφρον, ταύτην κατέστεψε.

Χάριν ἰαμάτων ἡ σὴ σορός, Πνεύματι Ἁγίῳ, ἀναβλύζει ὡς ἀληθῶς, καὶ παρέχει πᾶσι, χαρὰν καὶ εὐφροσύνην, Γεώργιε καὶ λύει, παθῶν σκοτόμαιναν.

Τοῖς τῷ σῷ λειψάνῳ τῷ ἱερῷ, πίστει προσιοῦσι, δίδου Πάτερ ὡς συμπαθής, τὴν σὴν εὐλογίαν, καὶ ῥῶσιν καὶ ὑγείαν, Γεώργιε τρισμάκαρ, ψυχῆς καὶ σώματος.

Λύσιν τῶν ἐν βίῳ δυσχερειῶν, καὶ πάσης ἀνάγκης, καὶ κινδύνων καὶ πειρασμῶν, καὶ τὴν τῶν πταισμάτων, συγχώρησιν ἐξαίτει, ἡμῖν παρὰ Κυρίου, Πάτερ Γεώργιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή όργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας, τοὺς προστρέχοντας πιστῶς, Πάτερ τῷ σεπτῷ σου λειψάνῳ, ἐν εὐλαβείᾳ πολλῇ, σκέπε καὶ διάσωζε, ἐκ πάσης θλίψεως, καὶ παθῶν ἐλευθέρωσον, καὶ ἀῤῥωστημάτων, καὶ σκανδάλων Ἅγιε, τοῦ πολεμήτορος, δίδου δὲ εἰρήνην ἐν βίῳ, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην, πᾶσι τοῖς τιμῶσί σε Γεώργιε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*